# D.S. 12,45,1

| | |
|---|---|
| Title | Bibliotheca historica |
| Author | Diodorus Siculus |
| Date | 1st Cen.B.C. |
| Original text | Λακεδαιμόνιοι δὲ μετὰ Πελοποννησίων καὶ τῶν ἄλλων συμμάχων ἐνέβαλον εἰς τὴν Ἀττικὴν τὸ δεύτερον. ἐπιπορευόμενοι δὲ τὴν χώραν ἐδενδροτόμουν καὶ τὰς ἐπαύλεις ἐνεπύριζον, καὶ πᾶσαν σχεδὸν τὴν γῆν ἐλυμήναντο πλὴν τῆς καλουμένης Τετραπόλεως · ταύτης δ' ἀπέσχοντο διὰ τὸ τοὺς προγόνους αὐτῶν ἐνταῦθα κατῳκηκέναι καὶ τὸν Εὐρυσθέα νενικηκέναι τὴν ὁρμὴν ἐκ ταύτης ποιησαμένους · δίκαιον γὰρ ἡγοῦντο τοῖς εὐηργετηκόσι τοὺς προγόνους, παρὰ τῶν ἐκγόνων τὰς προσηκούσας εὐεργεσίας ἀπολαμβάνειν. |
| Source | F. Vogel (nach I. Bekker, L. Dindorf), Diodori bibliotheca historica, Bd. 2, Buch V-XII. |
| Source of translation | O. Veh, Diodoros: Griechische Weltgeschichte, Bd. 3, Buch XI-XIII. |
| Instances | D.S. 4,57,2-4; Pherecydes FGrH 3 F84; Hdt. 9,27,2-3 |
| Descriptor | Heracleidae |
| Coverage | Attica |
| Ethnic Groups | Dorians |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |